μήτε σιδήρῳ κατατέμνεται, μήτε πυρὶ κατακαίεται. οὐκ ἀφήσω ποτὲ ταύτην ἐγώ, κἂν καταφλέγῃς. οὐχ οὕτως θερμὸν εὑρήσεις τὸ πῦρ.

## ΛΟΓΟΣ Ζ.

Ταῦτα ἀκούσας ὁ Θέρσανδρος, παντοδαπὸς ἦν, ἤχθετο, ὠργίζετο, ἐβουλεύετο. ὠργίζετο μὲν, ὡς ὑβρισμένος· ἤχθετο δ᾽ ὡς ἀποτυχών. ἐβουλεύετο δὲ, ὡς ἐρῶν. τὴν οὖν ψυχὴν διασπώμενος, οὐδὲν εἰπὼν πρὸς τὴν Λευκίππην, ἐξεπήδησεν· ὀργῇ μὲν ἔνθεν ἐκδραμών· δοὺς δὲ τῇ ψυχῇ σχολὴν εἰς τὴν διάκρισιν τῆς τρικυμίας. βουλευόμενος οὖν ἅμα τῷ Σωσθένει, πρόσεισιν τῷ τῶν δεσμῶν ἄρχοντι, δεόμενος διαφθεῖραί με φαρμάκῳ. ὡς δ᾽ οὐκ ἔπειθεν· ἐδεδοίκει γὰρ τὴν πόλιν, καὶ γὰρ ἄλλον ἄρχοντα πρὸ αὐτοῦ ληφθέντα τοιαύτην ἐργασάμενον φαρμακείαν ἀποθανεῖν· δευτέραν αὐτῷ προσφέρει δέησιν, ἐμβαλεῖν τινὰ εἰς τὸ οἴκημα, ἔνθα ἔτυχον δεδεμένος, ὡς δὴ καὶ αὐτὸν ἕνα τῶν δεσμωτῶν, προσποιησάμενος βούλεσθαι τὰ μὰ δι᾽ ἐκείνου μαθεῖν. ἐπείσθη, καὶ ἐδέξατο τὸν ἄνθρωπον.

ἐμελ-

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id365041807/328 gefördert von der Deutschen Forschungsgemeinschaft DFG